www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΦΙΛΟΘΕΟΥ
# ΤΟΥ ΕΝ ΠΑΡῼ ΑΣΚΗΣΑΝΤΟΣ
(οὗ ἡ μνήμη τῇ 8ῃ Μαΐου)




Ποιηθεῖσα ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,
φιλοπάτορι αἰτήσει τοῦ εὐλαβεστάτου κ. Στυλιανοῦ Κεμεντζετζίδου,
Θεολόγου-Ἐκδότου, πνευματικοῦ τέκνου τοῦ Ὁσίου διατελέσαντος.

* 1993 *

**Τῇ Η΄ τοῦ μηνὸς Μαΐου μνήμην ἐπιτελοῦμεν τοῦ ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν**

## ΦΙΛΟΘΕΟΥ ΤΟΥ ΕΝ ΠΑΡΩ

*Ἡ δὲ ἀκολουθία τοῦ ἁγίου Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου μετὰ τῆς τοῦ ὁσίου Ἀρσενίου τοῦ Μεγάλου, μετατίθενται ἐν ᾗ ἂν ἡμέρᾳ δόξῃ τῷ προεστῶτι.*

* * *

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια
Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Τί καλλίστη ἡ μνήμη σου, θεοφόρε Φιλόθεε, τῆς Χριστοῦ ἐγέρσεως συμμετέχουσα, καὶ τὰς ψυχὰς κατευφραίνουσα, τῶν πίστει τιμώντων σε, ὡς ἀσκήσαντα καλῶς, καὶ δειχθέντα ἰσάξιον, τοῦ σοῦ Γέροντος, Νεκταρίου φωστῆρος τῆς Αἰγίνης, οὗ ναοῦ ἔνδον ἐτάφης, ἐν νήσῳ Πάρῳ μακάριε.

Θεολόγος ἐσφράγισεν, Ἰωάννης τὸν βίον σου, Πάτερ Ὁσιώτατε καὶ Ἀρσένιος, ἡσυχαστῶν στύλος πάμφωτος, ἐκ πρώτης ἐννοίας σου, ὅπως ἄρῃς ἐλαφρόν, μοναστῶν ζυγὸν ἕως οὗ, ἐξεδήμησας, πρὸς μονὰς τὰς ἀΰλους ἔνθεν πέμπεις, τοῖς τιμῶσι σε γλυκεῖαν, τὴν εὐλογίαν Φιλόθεε.

Φιλοθέως ἠγάπησας, Μοναχῶν Σχῆμα Ἅγιε, ἄριστος διδάσκαλος τῆς ἀσκήσεως, πολλοῖς γενόμενος θέλουσι, Πατέρων μιμήσασθαι, παλαιῶν τὴν ἀρετήν, καὶ παρθένους ὡδήγησας, εἰς ἐκζήτησιν, Ἰησοῦ τῶν ψυχῶν καλοῦ Νυμφίου, ὅθεν δέχῃ εὐγνωμόνως, τὴν ὀφειλὴν ἐκ τεκνίων σου.

Τῶν Ἁγίων Φιλόθεε, ἀρετὰς Πάντων ἔκλεισας, ἐν ψυχῆς ταμείῳ σου πλοῦτον ἄσυλον, συναγαγὼν ὥσπερ φρόνιμος, ἐργάτης τῆς Χάριτος, καὶ μετέδωκας πιστοῖς, ἐξ αὐτοῦ τὸ φιλάδελφον, ἐνδεικνύμενος, τοῦ Σωτῆρος μιμούμενος ἐν πᾶσι, τὴν ἀγάπην πρὸς τὴν φύσιν, τὴν ἐκπεσοῦσαν μακάριε.

Δόξα. Ἦχος α΄.

www.tezaurliturgic.ro

Τῆς Λακεδαίμονος χώρας ἄνθος ἐκφυείς, ἐν τῇ εὐλογημένῃ νήσῳ Πάρου μετεφυτεύθης, εἰς τὴν θεομητορικὴν Μάνδραν Φιλόθεε· ἔνθα ὡς δένδρον εὐσκιόφυλλον τῆς χάριτος σφόδρα αὐξηθείς, πολλοὺς ἀνέπαυσας ὑπὸ τὴν χριστόδροσον σκιάν σου, τῇ πατρικῇ σου ἐπιστήμῃ εἰς σωτηρίαν ὁδηγῶν. Ὅθεν καλλικαρπήσας τὴν πρὸς Θεὸν καὶ πλησίον ἀγάπην, παρέστης ἐν εἰρήνῃ τῷ μισθαποδότῃ σου Κυρίῳ, Ὃν ἱκέτευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Καταξίωσον.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Μνήμην σου ἱεράν, Φιλόθεε τιμῶμεν, δοξάζοντες Δεσπότην, τὸν μέγαν σε φωστῆρα, ἐν χρόνοις τούτοις δείξαντι.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ....

Στίφη τῶν μοναστῶν, καὶ πλήθη τῶν ἐν κόσμῳ, οἱ μετασχόντες Πάτερ, τῆς σῆς εὐεργεσίας, φαιδρῶς πανηγυρίζομεν.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον....

Πάτερ θεοφιλές, φαιδρῶς ἐπιτελοῦντας, σὴν μνήμην ἀεὶ σκέπε, καὶ δώρησαι εὐχαῖς σου, χάριν Ἁγίου Πνεύματος.

Δόξα. Τριαδικόν.

Δέχου σεπτὴ Τριὰς, τριάδα Νεκταρίου, καὶ Ἀρσενίου Πάρου, ἅμα τῷ Φιλοθέῳ, ὑπὲρ ἡμῶν πρεσβεύουσαν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα ἀγαθὴ, ἡ νηπιόθεν χάριν, σὴν μητρικὴν διδοῦσα, τῷ θείῳ Φιλοθέῳ, πάντας ἡμᾶς χαρίτωσον.

www.tezaurliturgic.ro

Νῦν ἀπολύεις. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον
Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τὸν Χριστὸν ἀγαπήσας Λακωνίαν κατέλιπες, καὶ τοῦ Νεκταρίου τοῦ θείου, πατρικαῖς ὑποδείξεσιν, εἰς Πάρον κατεσκήνωσας σοφέ, φωστὴρ ἀναφανεὶς τῶν μοναστῶν, καὶ χορείας τῶν ἐν κόσμῳ θεοφιλῶς, πρὸς σωτηρίαν ἤγαγες. Δόξα τῷ σὲ δοξάσαντι Θεῷ, δόξα τῷ σὲ χαριτώσαντι, δόξα Φιλόθεε σεπτέ, τῷ σὲ ἡμῖν δωρήσαντι.

Δόξα. Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς

καὶ Ἀπόλυσις.

## ΕΝ ΤͅΩ ΜΕΓΑΛͅΩ ΕΣΠΕΡΙΝͅΩ

Ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν, εἰ τύχοι ἡ ἑορτὴ ἐν τῇ Διακαινησίμῳ,
γ΄ ἀναστάσιμα στιχηρὰ καὶ γ΄ τοῦ Ὁσίου, ἄλλως δὲ ἅπαντα τοῦ Ὁσίου.
Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν Ἀναστάντα Δεσπότην, Χριστὸν δοξάζομεν, Φιλόθεε τρισμάκαρ, τὸν δοξάσαντα σφόδρα, τὸν βίον σου τὸν θεῖον ἀπὸ παιδός, ἕως πίονος γήρατος, ὅτε ψυχήν σου παρέθου χερσίν Αὐτοῦ, ἀρεταῖς κομῶσαν Ὅσιε.

www.tezaurliturgic.ro

Σὲ ἐξελέξατο Πάτερ, ψυχεραστὴς ἀγαθός, εἰς τὴν καλὴν στρατείαν, σοῦ τὸ πρόθυμον βλέπων, ποικίλοις ἐν σημείοις καὶ θαυμαστοῖς, ἐξαιρέτως ὑφάπτων σε, τῆς δὲ Πανάγνου καὶ θείας μητρός Αὐτοῦ, ἐμφανίσεσιν ἐκράτυνε.

Ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου, ποθῶν εὑρίσκεσθαι, καὶ ψάλλειν ἐκ καρδίας, θείους ὕμνους ὡς κύκνος, μετὰ τῶν Ἀλεξάνδρων καὶ τοῦ σεπτοῦ, Νικολάου Φιλόθεε, εὗρες ἐν τέλει κατοίκησιν ἀγαθήν, Λογγοβάρδας μάνδραν Ὅσιε.

Οὐρανοδρόμος ἐφάνης, πάτερ Φιλόθεε, καὶ οὐρανοπολίτης, τῶν Ἀγγέλων τὸν βίον, μιμούμενος ἐν πᾶσι καὶ πρὸς Χριστὸν, πλήθη τέκνων σου ἤγαγες, τῶν μοναστῶν δὲ ἐδείχθης καθηγητής, ἔργοις θείοις καὶ διδάγμασι.

Πάντων Ἁγίων τὰ ἆθλα καὶ κατορθώματα, ζηλώσας οἶκον τούτων, ᾠκοδόμησας θεῖον, ἐν ᾧ τῆς ἡσυχίας μέλι γλυκύ, ἀπετρύγεις ἑκάστοτε, πλοῦτον συνάγων οὐράνιον μυστικῶς, παμμακάριστε Φιλόθεε.

Εἰς πᾶσαν γῆν τῆς Ἑλλάδος, εὐηγγελίσαντο, Φιλόθεε εἰρήνην, τοῦ Κυρίου, σοὶ πόδες, ἀγάπῃ γὰρ νυττόμενος ἐσαεί, οὐκ ἐπαύσω ἐργάζεσθαι, φιλαδελφίαν διό περ καὶ ὁ Χριστὸς, σὲ σημείοις ἐθαυμάστωσεν.

Δόξα. Ἦχος β΄.

Ἀπὸ παιδὸς ἐσφράγισε τὸν βίον σου ὁ φιλάνθρωπος Δεσπότης, Ὅσιε Φιλόθεε· καὶ φανερῶν τὴν πρός ψυχήν σου εὐαρέστησιν, πολλοῖς σημείοις καὶ θαύμασιν ἐστερέωσε τὴν πρὸς Αὐτὸν ἀγάπην. Ὅθεν τῇ φιλοστόργῳ προνοίᾳ τῆς Πανάγνου Θεομήτορος, διὰ τοῦ ἁγίου σου Πατρὸς καὶ Ἱεράρχου Νεκταρίου, εἰς Πάρον ὁδηγήσας σε, ἀνέδειξεν τῶν μοναζόντων καύχημα, ὡς κοινοβιαρχήσαντα ὁσίως, τῶν μυστηρίων τῆς χάριτος ἀγγελοπρεπῆ λειτουργὸν, τῆς πρὸς πλησίον ἀγάπης

θαυμαστὸν ἐργάτην, καὶ τῆς σωτηριώδους μετανοίας ἀπαράμιλλον διάκονον. Διὸ καὶ ἐχαρίσατό σοι πολλὴν τὴν δύναμιν τοῦ Πνεύματος καὶ ζῶντι καὶ μετὰ θάνατον, ἣν καὶ ἡμῖν χάρισαι ὡς δρόσον οὐράνιον, ταῖς πατρικαῖς σου εὐχαῖς , γνήσιε φίλε τοῦ Θεοῦ καὶ Πάτερ ἁγιώτατε.

Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.
Ἀναγνώσματα ὁσιακά.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα
(γ΄. 1 - 9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα
(ε΄.15 - στ΄. 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτῶν καὶ ὁπλοποιήσει τὴν

κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(δ΄. 7 - 15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Ἐκτενής. Καταξίωσον. Πληρωτικά.

**ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ**

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α΄.

Ἐν χειρὶ Θεοῦ ἡ ἀγαθοτάτη σου ψυχὴ ἀπὸ παιδὸς φυλαχθεῖσα, Ὅσιε Πάτερ Φιλόθεε, εὐχύμους ἀπέδωκε τοὺς καρποὺς τῇ Ἐκκλησίᾳ, ἥν ὁλοθύμως κατηγάπησε. Διὸ καὶ μετὰ Πάντων τῶν Ἁγίων συγκομισθεῖσα εἰς τὴν οὐράνιον ἀποθήκην, τὸν μελίῤῥυτον γλυκασμὸν ἐκχέει τοῖς τέκνοις σου, μιγάσι καὶ μονάζουσιν. Ἃ ἀσφαλῶς ὁδήγησον ἔνθα σὺ παρίστασαι, ταῖς πρεσβείαις ταῖς ἐνθέρμοις σου.

Ἦχος β΄.

Ὧ τινι τις ἐπασχολεῖται τοῦτο καὶ γίνεται· διὸ καὶ σὺ ὁσιώτατε Πάτερ σὺν τοῖς Ἁγίοις ἀναστρεφόμενος νηπιόθεν, Ἅγιος δικαίως γεγένησαι, πάντας τοὺς χαρακτῆρας τοῦ Πνεύματος σαφῶς ἐγγράψας τῇ φιλοθέῳ σου ψυχῇ. Ὅθεν σοι ὡς ὑποφήτῃ Κυρίου οἱ πιστοὶ πελάζοντες, καὶ τὴν καλὴν ἀλλοίωσιν τῆς Χάριτος ὑφιστάμενοι, εὐαγγελικῶς ἐμάνθανον παρὰ σοῦ τὸν βίον ἰθύνειν καὶ ἐπιμελῶς διώκειν τὸν ὁλοτελῆ ἁγιασμόν, οὗ ἀξιώσαις τοὺς ὑμνοῦντάς σε, τρισόλβιε Φιλόθεε.

Ἦχος γ΄.

Γῆρας τίμιον καὶ πολυχρόνιον, τὴν σεβασμιωτάτην σου κορυφὴν κατέστεψαν, Φιλόθεε μακάριε, ὡς πιστῷ ἐργάτῃ τοῦ μυστικοῦ Ἀμπελῶνος. Ποίας γὰρ ἀρετῆς ἄμοιρος ἐγένου; ἤ τίνος εὐαγγελικῆς ἐντολῆς ὡς παραμικρᾶς κατεφρόνησας; ἐν ἀκλινεῖ δὲ φρονήματι τὴν οὐρανοδρόμον σου πορείαν τελέσας, τὸ μὲν πολύαθλον σκῆνος σου ἡμῖν κατέλιπες εἰς παραμυθίαν, ἐνελιμενίσθης δὲ τῷ πνεύματι ὡς ναῦς χριστοφόρος εἰς τὰ πεποθημένα σοι σκηνώματα. Ἐξ ὧν πέμπε μυστικῶς, τὴν πατρικήν σου εὐλογίαν τοῖς τὴν μνήμην σου τὴν σεπτήν, τιμῶσι καὶ γεραίρουσι.

Ἦχος δ΄.

Τῆς Θεομήτορος σκεῦος ἐκλεκτόν, ἀνεφάνης Πάτερ Φιλόθεε. Αὐτῆς γὰρ ἀπὸ βρέφους τὴν φιλοστοργίαν μαθών, καὶ τῆς πρεσβείας τὸ ἀκαταίσχυντον, γέγονας ἰσόβιος διάκονος τῆς ἐν νήσῳ Πάρῳ Μάνδρας, ἥν

ἐμπραγμάτως ἀνέδειξας πηγὴν ζωοβλυτοῦσαν τοῖς τέκνοις τοῦ Θεοῦ, καὶ παρθενῶνα εὐαγῆ ἀφιέρωσας τῇ Μητρικῇ Αὐτῆς ἀγάπῃ· ὅθεν ἱκέτευε ἐκτενῶς τρισόλβιε, ὅπως σκέπῃ καὶ ἡμᾶς, καὶ δροσίζῃ θείοις νάμασι.

Δόξα. Ἦχος πλ. α΄.

Ὡς ἐπλουτίσθης Πάρος κλεινή! ὡς ἐχαριτώθης ὑπὲρ μέτρον, τῇ δωρεᾷ τῆς ἁγιότητος! Ὅτι τῇ χρυσοπλόκῳ σειρᾷ τῶν ἐν σοὶ θεοφιλῶς ἀσκησάντων, ἀρτίως προσετέθη ὁ ἐν ὁσίοις Πατὴρ Φιλόθεος. Οὗ ἡ κεχαριτωμένη βιοτή, ὡς δρόσος οὐρανία, καταρδεύει τὰς καρδίας τῶν πιστῶν, καρποφοροῦσα μυστικῶς τὴν φιλοθεΐαν, καὶ χαρμονῆς πληροῖ τὴν Ἐκκλησίαν. Ὅθεν εὐχαρίστως τῷ εὐεργετήσαντί σε Χριστῷ ἀναβόησον· γένοιτο Κύριε τὸ ἔλεός σου ἐπ' ἐμὲ καὶ ἐπὶ πᾶσαν τὴν κληρονομίαν σου, ταῖς πρεσβείαις τῶν Ἁγίων σου, τὴν γῆν μου καθαγιασάντων τοῖς ἀσκητικοῖς ἀγωνίσμασι.

Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

Στιχηρὰ προσόμοια. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις τῆς Λακωνίας καρπός, τῆς νήσου Πάρου τὸ κλεινὸν ἐγκαλλώπισμα, Κυκλάδων ἡ νέα δόξα, Ἑλλάδος πάσης φωστήρ, καὶ Ὀρθοδοξίας μέγα καύχημα, Φιλόθεε ὅσιε, μοναζόντων διδάσκαλε, καὶ τῶν ἐν κόσμῳ ὁδηγὸς στοργικώτατος, ἰσοστάσιος ἀσκητῶν καὶ ὁμότροπος, βρύσις πλουσίως βλύζουσα, ποικίλα ἰάματα, τοῖς ψυχικῶς ἀσθενοῦσι καὶ τ÷˘ῶ Χριστῷ ἡ συνάπτουσα· Αὐτὸν ἐκδυσώπει, παρασχεῖν ἡμῖν εἰρήνην καὶ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Ἔχων ἀπὸ παιδὸς πρὸς Θεόν, ὡς γονικὴν κληρονομίαν εὐσέβειαν, ἐχώρησας θεῖε Πάτερ ἐπιστημόνως ζητῶν, ἐπιγνῶναι Τούτου τὰ μυστήρια· καὶ πόθῳ βαλλόμενος, ὡς καυτῆρι μακάριε, διὰ μελέτης καὶ εὐχῆς κατεμάνθανες, ἐναργέστερον τὸ σωτήριον θέλημα· ὅθεν νυκτὸς

ἐμάκρυνας, φιλτάτης πατρίδος σου, τὴν ἄνω θέλων Πατρίδα, ὡς θεοδρόμος ὀξύτατος· Μητρὸς δὲ Κυρίου, εὐμοιρήσας προστασίαν, πάντων ἐπέτυχες.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι....

Τύπος φιλοθεΐας δειχθείς, κατὰ τὴν κλῆσιν σου τρισμάκαρ Φιλόθεε, ἀσκήσει ψυχήν σου θρέψας, ταῖς πατρικαῖς διδαχαῖς, καὶ εὐχῇ κρατύνας τὴν καρδίαν σου, διδάσκαλος γέγονας, βρυορήτωρ τῆς χάριτος, καταλλαγῆς δὲ, μυστηρίῳ συνήρμοσας, τῷ Δεσπότῃ σου, τὰς ψυχὰς τῶν τεκνίων σου· ὅθεν σὺν τῷ ἁγίῳ σου Πατρὶ καθικέτευσε, τῷ Νεκταρίῳ τῷ θείῳ καὶ Ἀρσενίῳ τὸν Κύριον, ἡμῖν οὐρανόθεν, καταπέμπειν καθ᾽ ἑκάστην τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ.δ΄.

Φιλοθεΐας ποθήσας τὸ γνήσιον, καὶ μετασχεῖν ἰσαγγέλου βιώσεως, ἠξιώθης ἀμφοτέρων ὑπερμέτρως, παμμακάριστε πατὴρ ἡμῶν Φιλόθεε. Ἐν γὰρ τῇ πρώτῃ ζητήσει σου τὸν Θεολόγον Ἰωάννην ἔσχες μυσταγωγὸν ἀκριβῆ, ὑφηγητὴν τῆς διπλῆς ἀγάπης καὶ φύλακα τῆς παρθενίας σου· τὴν δὲ δευτέραν σοι ἐχαρίσατο ὁ στύλος τῆς ἐρήμου, Ἀρσένιος ὁ Μέγας, τῶν μοναστῶν τὸ πάμφωτον κλέος, εἰς Λογγοβάρδαν ὁδηγήσας σε. Οἳ ὡς προστάται σου ἰσόβιοι, καὶ τὴν ἁγνοτάτην σου ψυχὴν τῷ Θεῷ ἀνήνεγκαν, ὡς δῶρον ἑόρτιον τῆς ἁγίας μνήμης αὐτῶν. Μεθ᾽ ὧν καθικέτευε, Ὀρθοδοξίας γλυκύτατε καὶ νεόφωτε φωστήρ, ὑπὲρ τῶν πίστει προσκυνούντων τὰ σεπτά σου λείψανα, καὶ γεραιρόντων ἐνθέως, τὴν ἑορτήν σου τὴν χαρμόσυνον.

Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

Νῦν ἀπολύεις. Τρισάγιον κλπ...Τὰ ἀπολυτίκια ὡς ἐν τῷ Μικρῷ Ἑσπερινῷ.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν. Κάθισμα. Ἦχος α΄. Τὸν Τάφον σου Σωτήρ.

Τὸν φίλον τοῦ Θεοῦ, Θεομήτορος δοῦλον, Φιλόθεον πιστοί, ἐπαινέσωμεν πόθῳ, ἀγάπην μιμούμενοι καὶ γνησίαν εὐλάβειαν, αἷς ἐκόσμησε, τὴν ἑαυτοῦ πολιτείαν, καὶ ἐμόρφωσε, Χριστὸν πολλῶν ἐν καρδίαις, τεχνίτης ὡς ἔνθεος.

Δόξα. Ὅμοιον.

Ποθήσας τὸν Χριστόν, ὁσιώτατε Πάτερ, ἀσκήσεσι σαὐτόν, καθυπέταξας Τούτῳ, τὸ πῦρ ὑπανάπτων σου, ἐν ψυχῇ θείου ἔρωτος, ὅθεν γέγονας, μοναχικῆς πολιτείας, μύστης ἄριστος, καὶ ὁδηγὸς σωτηρίας, σοῖς τέκνοις Φιλόθεε.

Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

Μετὰ τὴν β΄στιχολογίαν. Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Πόλιν Ὅσιε, ἐρῶν τὴν ἄνω, προσεκύνησας Τόπους Ἁγίους, ἐν οἷς ὁ Πλάστης ἡμῶν κατειργάσατο, οἰκονομίας τὸ μέγα Μυστήριον, ὅθεν ἀγάπην Αὐτοῦ ἐκμιμούμενος, καθωδήγησας, πλήθη ψυχῶν πρὸς μετάνοιαν, Φιλόθεε σοφαῖς σου εἰσηγήσεσι.

Δόξα. Ὅμοιον.

Νήφων ὅσιε, κατηξιώθης, γνῶναι τέλεον, Πνεύματος βάθη, καὶ μοναστῶν τὴν πολιτείαν κατέμαθες, ὅθεν Χριστῷ ὥσπερ δῶρα πολύτιμα, ψυχὰς σῶν τέκνων Φιλόθεε δέδωκας, καὶ ἐπλούτισας, θαυμάτων πολλῶν ἐνέργειαν, δι᾽ ὧν καταφαιδρύνεις τοὺς τιμῶντάς σε.

Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Θεοτόκον ἰσόβιον βοηθόν, ἔχων Πάτερ ἐνίκας τὰ τῶν ἐχθρῶν, δαιμόνων φρυάγματα, ὥσπερ παίδων ἀθύρματα, καὶ τῇ Ταύτης σκέπῃ, ἀεὶ φυλαττόμενος, μοναστῶν τὸ Σχῆμα, ἐν Πάρῳ ἀπείληφας, ἔνθα Λογγοβάρδας, τὴν Μονὴν φάρον μέγαν, ἀνέδειξας Ὅσιε, Θαψανῶν δὲ ἀνήγειρας, φροντιστήριον ἄριστον, ἐν ÷˘ὧ καὶ ἀνεπαύθης καλῶς, ἀναμένων τὴν σάλπιγγα, ἀναστάσεως πάντων, τρισμάκαρ Φιλόθεε.

Δόξα. Ὅμοιον.

Τὸν προφήτην Ἠλίαν Γέροντα σόν, ὀνομάζων Φιλόθεε θαυμαστέ, καὶ ἔχων σου πρότυπον, θείου ζήλου ἐξήλεγξας, ἀνομίαν πᾶσαν καὶ νόμου παράβασιν, τοῦ Θεοῦ σαλπίσας ἐγέρσεως σάλπισμα, ὅθεν ἀνεδείχθης Ὀρθοδόξων τὸ μέτρον, τῆς πίστεως ἔρεισμα καὶ διδάσκαλος ἔνθεος, πάντας πείθων τοῖς δόγμασιν, ἐμμένειν τῶν Πατέρων καλῶς, καὶ μιμεῖσθαι τούτων βίον ἄμεπτον, ὅπως μέτοχοι δόξης, αὐτῶν καὶ γενώμεθα.

Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

Οἱ Ἀναβαθμοί· τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου. Ἐκ νεότητός μου.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Στίχος· Τί ἀνταποδώσομεν τῷ Κυρίῳ.....

Πᾶσα Πνοή. Εὐαγγέλιον, τὸ ὁσιακόν (ζήτει εἰς ὄρθρον ε΄ Δεκεμβρίου).

Ὁ Ν΄, Ἐλέησόν με ὁ Θεός....

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα τὸ Ἰδιόμελον. Ἦχος πλ.β΄.

Σήμερον τὰ στίφη τῶν πιστῶν, τὴν μνήμην σου τὴν πάμφωτον, Φιλόθεε Ὅσιε ἑορτάζοντες, ἐαρινοῖς ᾄσμασιν

εὐφημοῦντες λέγομεν· μνήσθητι ὡς φιλοστοργότατος πατήρ, καὶ φιλανθρωπότατος ποιμήν, τῶν τέκνων σου μακάριε, καὶ ἀξίωσον δοξάσαι σὺν σοί, τὸν δοξάσαντά σε Κύριον, πρεσβείαις τῆς Ζωοδόχου Πηγῆς, καὶ Πάντων τῶν Ἁγίων.

Σῶσον ὁ Θεός τὸν λαόν σου .....κλπ.

Εἶτα ψάλλονται οἱ Κανόνες. Πρῶτον ὁ Ἀναστάσιμος ἤ τῆς προλαβούσης ἑορτῆς καὶ τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς:

**" Φιλόθεον τιμήσω κλέος τῆς Πάρου πόθῳ. Ἀ(θανάσιος) ".**

Ὠδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.

Φαιδρυνόμενοι ἀκτῖσι Ζωοδότα Χριστέ, θείας Ἐγέρσεώς σου, μνήμην τελοῦμεν ἱεράν, Φιλοθέου τοῦ σεπτοῦ, ἐν πόθῳ πολλῷ, ᾠδὴν ἐπινίκιον, τῇ σῇ δόξῃ προσᾴδοντες.

Ἱερὰ καὶ σεβασμία νῦν ἐπέστη ἡμῖν, μνήμη σου θεῖε Πάτερ, χαρᾶς πληροῦσα τὰς ψυχάς, καὶ στηρίζουσα ἡμᾶς, πορείαν ποιεῖν, πρὸς Πόλιν οὐράνιον, ἧς τρυφᾷς φῶς τὸ ἄληκτον.

Λόγοις Πάτερ φθειρομένοις οὐ δυνάμεθα νῦν, σὲ κατεγκωμιάσαι, ὅτι ἀγγέλων βιοτήν, ἐν σαρκὶ περιπολῶν, ἐδείκνυς σεμνῶς, καὶ Πνεύματι ἤγετο ἡ ζωή σου Φιλόθεε.

Θεοτοκίον

Ὃν ἐκ βρέφους καθωδήγεις μητρικῇ σου στοργῇ, καὶ προσελάβου Κόρη, ἰδοὺ ὑπόθεσις ἡμῖν, ἑορτῆς πνευματικῆς καὶ θείας χαρᾶς, Υἱὸν γὰρ ἐδόξασε, σὸν γλυκὺν καὶ ἐπέραστον.
Καταβασία. Ἀναστάσεως ἡμέρα.

Ὠδὴ γ΄. Δεῦτε πόμα πίωμεν καινόν.

Θαῦμα μέγα πῶς ὁ Μαθητής, τῆς ἀγάπης Φιλόθεε σὲ ἠγάπησεν, Θεολογίας κρουνοῖς, ἀρδεύσας καὶ μνήμῃ τῇ αὐτοῦ, ἐντεῦθεν ἀνείληφε.

Ἔρωτα ἁγνείας ἐν Χριστῷ, παιδιόθεν προθύμως ἐκαλλιέργησας, συχναῖς εὐχαῖς καὶ ᾠδαῖς, ἀνάπτων Φιλόθεε τὸ πῦρ, δι' οὗ ὡλοκαύτωσαι.

Ὅλην σου τὴν ὕπαρξιν Θεῷ, δι' ἀσκήσεως θέλων μάκαρ χαρίσασθαι, χειραγωγὸν μυστικόν, Νεκτάριον εὗρες τὸν κλεινόν, Αἰγίνης τὸ σέμνωμα.

Θεοτοκίον

Νίκη σου ὑπάρχει θαυμαστή, Θεοτόκε καὶ οὗτος ὁ τρισμακάριστος, ὅς Λογγοβάρδας ποιμήν, κληθεὶς ἐμεγάλυνε τὴν σὴν, ἀγάπην φιλότεκνον.

Καταβασία. Δεῦτε πόμα πίωμεν καινόν.

Ἀναγινώσκεται τὸ Κοντάκιον τῆς Ἑορτῆς
καὶ εἶτα Κάθισμα. Ἦχος πλ.α΄. Τὸν Συνάναρχον Λόγον.

Λακωνίας τὸ θρέμμα, τῆς Πάρου κλέϊσμα, Λογγοβάρδας ποιμένα, Πάτερ Φιλόθεε, καὶ Θαψανῶν σεπτῆς μονῆς Κτίτορα τίμιον, πιστῶν ἁπάντων στοργικόν, φιλόψυχόν τε φροντιστήν, γινώσκοντες ἐκβοῶμεν· μὴ διαλίπῃς πρεσβεύειν, σωθῆναι πάντας τοὺς ἀνυμνοῦντάς σε.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.
Ὠδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.

Τῆς ἡσυχίας ἐραστὴς καὶ προσευχῆς τῆς νοερᾶς, γέγονας ἐργάτης ἀνδρεῖος, ὅθεν Πάτερ ἵδρυσας, τερπνὸν ἡσυχαστήριον, οὗ τὸν Ἰησοῦν ἐξεζήτεις, Ἁγίων Πάντων μιμούμενος τὸν ἔρωτα.

Ἱερωσύνης τὴν λαμπρὰν περιβαλόμενος στολήν, ἄγγελος καθάπερ τις ἄλλος, ἐπετέλεις Ὅσιε, τὴν

www.tezaurliturgic.ro

λογικὴν λατρείαν σου, πάντων μεθιστῶν τὰς καρδίας, πρὸς τὴν ἀγάπην Χριστοῦ ἠγαπημένου σου.

Μωσῆν μιμούμενος σοφὲ ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, πόθῳ ἀνελθὼν ἐξεζήτεις, τὰ Θεοῦ ὀπίσθια, τῇ φιλοθέῳ γνώμῃ σου, Ὅστις σὲ κατέστησε Πάτερ, τῆς Ἐκκλησίας ποιμένα καὶ διδάσκαλον.

Θεοτοκίον

Ἡτοίμασέ σοι ζωηρὰν πηγὴν ναμάτων ἡ Ἁγνή, Πάτερ ἐν Μονῇ Λογγοβάρδας, ἔνθεν πίνων Ὅσιε, ἐδρόσισας τῶν τέκνων σου, πάντων τὰς ψυχὰς παμπλουσίως, πηγὴ δευτέρα δειχθείς τις πνευματόῤῥυτος.

Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς.

Ὠδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Σταθεὶς ὅπου πόδες Κυρίου, σφοδρῶς ἐπόθεις ὢ Πάτερ Αὐτῷ συνεῖναι, δέξαι λέγων Δέσποτα, ψυχὴν μου ἥ ἠξίωται, σὲ νοερῶς ἰδεῖν καὶ ἅψασθαι.

Ὠσφράνθη ὀσμήν σου ἀγάπης, καὶ τῆς ψυχῆς σου τὸν ζῆλον ἐζήλωσεν ὁ Δεσπότης, ὅθεν σε Φιλόθεε, ἐκόσμησε χαρίσμασι, ὡς οἰκονόμον τῆς Χάριτος

Κηρύττων μετάνοιαν Πάτερ, ψυχὰς προσήγαγες δῶρον δεκτὸν Σωτῆρι, καὶ τοῖς μελιῤῥύτοις σου, διδάγμασιν ὡδήγησας, ταύτας Θεοῦ εἰς ἐπίγνωσιν.

Θεοτοκίον

Λαὸν εὐλαβῶν σου Παρίων, ἐκ πείνης Μῆτερ διέσωσεν ὁ σὸς δοῦλος, καὶ πικροῦ ἐῤῥύσατο, θανάτου τῇ δυνάμει σου, τοὺς καταδίκους ὁ εὔσπλαγχνος.

Καταβασία. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Ὠδὴ ϛ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Ἑλλάδος πάσης Πάτερ κοινός, ἀνεδείχθης εὐεργέτης ποικίλως, κατόχους τοῖς ἁμαρτίας δεσμοῖς, ἀνασπάσας τε, καὶ πρὸς φῶς τοῦ Χριστοῦ, ὁδηγήσας σοῖς λόγοις.

Οὐ μόνον διδασκαλίᾳ δεινός, ἀλλ' ἐμπράκτως ἐπεδείξω τὴν πίστιν, φανεὶς μὲν τοῖς ὀρφανοῖς ὡς πατὴρ, θλιβομένοις τε, παρακλήτωρ γλυκύς, ἰατρὸς ἀσθενοῦσι.

Σωφρόνως εὐαρεστήσας Χριστῷ, ἐν νηστείᾳ τὸν σὸν βίον διῆλθες, βαθέως δὲ ταπεινῶν σεαυτόν, ἐναπέμαξας, χαρακτῆρα Αὐτοῦ, τρισμακάριε Πάτερ.

Θεοτοκίον

Ταμεῖον θεοειδῶν ἀρετῶν, ἐναπέδειξας Φιλόθεον Μῆτερ, ἀγάπης ἀντιδιδοῦσα μισθόν, καὶ τοῦ ἔρωτος, ὃν πρὸς Πρόσωπον σόν, υἱικῶς διετήρει.

Καταβασία. Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Ὡς τῶν Ἁγίων σε ἁπάντων φίλον γνήσιον,
καὶ τοῦ προφήτου Ἠλιοὺ ἔνθουν ὁμόζηλον,
Θεομήτορος δὲ τέκνον ἠγαπημένον,
ἐν τῇ Πάρῳ φιλοθέως βιοτεύσαντα,
καὶ ὁσίων πολιτείαν μιμησάμενον,
γνόντες κράζομεν·
Χαίροις Πάτερ Φιλόθεε.

**Ὁ Οἶκος**

Ἄνθρωπε τῆς ἀγάπης, θεοζήλευτον σκῆνος, Φιλόθεε ὁσιώτατε ὁδοιπόρε, τὴν χαρμόσυνόν σου ἑορτὴν, συνελθόντες πόθῳ ἑορτάζομεν, καὶ γλυκασμοῦ τῆς βιοτῆς σου ἐμφορούμενοι, βοῶμέν σοι ἀπὸ ψυχῆς τοιαῦτα·

Χαῖρε τῆς Λακωνίας φυτὸν χριστοφύτευτον,
Χαῖρε τῆς Ἐκκλησίας στολισμὸς πανηδύτατος.

Χαῖρε Θεοτόκου ἀπὸ βρέφους ἐκλελεγμένε,
Χαῖρε ἠγαπημένου Θεολόγου ἠγαπημένε.
Χαῖρε ἡγιασμένου Πατρὸς τέκνον ἅγιον,
Χαῖρε καταλαβὼν ἀκρωρείας τοῦ Πνεύματος.
Χαῖρε, ὅτι πλήθη μετανοίᾳ σὺ συνήρμοσας Χριστῷ,
Χαῖρε, ὅτι μοναστῶν ἐδείχθης ἄριστος καθηγητής.
Χαῖρε Ἁγίων Πάντων συμμεθέξας τῆς δόξης,
Χαῖρε τὴν νῆσον Πάρον εὐλογίαις πλουτίσας·
Χαίροις Πάτερ Φιλόθεε.

**Τὸ Συναξάριον**

**Τῇ Η΄τοῦ μηνὸς Μαΐου μνήμην ἐπιτελοῦμεν τοῦ ὁσίου καὶ Θεοφόρου πατρὸς ἡμῶν Φιλοθέου τοῦ ἐν Πάρῳ.**

Στίχοι
Θεὸν φιλήσας, Ὃν πᾶς τις φιλητέον,
Θεοῦ τοῖς φίλοις, Φιλόθεε, συνέστης.

Ἕτεροι
Λάκκους δαιμόνων, Λάκων ἀνὴρ διέδρα,
ἀσκήσας Πάρῳ, Φιλόθεος γεννάδας.
Πάντα σοι Μαΐῳ τ᾽ ἀγαθὰ, Φιλόθεε γείναντο.

Οὗτος ὁ νεοφανὴς καὶ ὁλολαμπὴς φωστὴρ τῆς Ὀρθοδόξου Ἐκκλησίας, πατρίδα μὲν ἔσχεν τὴν κατὰ τὴν Λακωνίαν μικρὰν κώμην Πάκια, ἐκ γονέων εὐλαβῶν χριστιανῶν φυείς, Παναγιώτου καὶ Αἰκατερίνης Ζερβάκου καλουμένων, Κωνσταντῖνος κατὰ τὸ ἅγιον Βάπτισμα κληθείς. Ἐκ νηπιακῆς ἡλικίας ὁ τρισμακάριστος ἀγαπήσας ἀπὸ ψυχῆς τὰ τῆς Ἐκκλησίας, πολλὰ θαυμαστὰ σημεῖα ἐπέδειξε τῆς μετὰ ταῦτα ὁσιακῆς βιοτῆς. Κατ᾽ ἐξαίρετον δὲ τρόπον, καὶ κατ᾽ ἐπανάληψιν, ἀπὸ τῆς βρεφικῆς ἔτι ἡλικίας, ἡ Κυρία Θεοτόκος ἐφανέρωσε τὴν πρὸς αὐτὸν ἀκαταίσχυντον σκέπην καὶ μητρικὴν Αὐτῆς στοργῆς, εἰς στιγμὰς, μάλιστα, ἐντόνων δαιμονικῶν ἐπιθέσεων. Διορισθεὶς δημοδιδάσκαλος εἰς τὸ χωρίον Φοινίκι, μεγάλως συνέβαλεν εἰς τὴν χριστιανοπρεπῆ ἀνάπλασιν τῶν τε μικρῶν μαθητῶν καὶ τῶν κατοίκων τοῦ χωρίου. Βληθεὶς δὲ ὑπὸ τῆς θείας ἀγάπης καὶ μετὰ πολὺν ἐσωτερικὸν ἀγῶνα καὶ περιπετείας, ἃς ἰδιογράφως ἀπετύπωσεν, ἐλθὼν εἰς Ἀθήνας

www.tezaurliturgic.ro

συνεδέθη μετὰ τοῦ ὁσίου ἱερέως ἁγίου Νικολάου Πλανᾶ, συμψάλλων εἰς τὸ ἐκκλησίδιον τοῦ Προφήτου Ἐλισσαίου μετὰ τῶν μακαρίων Ἀλεξάνδρων, Παπαδιαμάντη καὶ Μωραϊτίδου. Τότε δὴ ηὐλογήθη καὶ διὰ τῆς πνευματικῆς συνδέσεως μετὰ τοῦ ἐν ἁγίοις ἱεράρχου Νεκταρίου τοῦ θαυματουργοῦ τοῦ ἐν Αἰγίνῃ, Ὅστις τὰ μάλιστα ὑπεβοήθησε τὴν καλλιέργειαν τῆς μοναστικῆς κλήσεως τοῦ νεαροῦ Κωνσταντίνου. Μετ' ἀνεπιτυχῆ προσπάθειαν νὰ μονάσῃ εἰς Ἅγιον Ὄρος καὶ παραδόξως λυτρωθεὶς ἐκ βεβαίας θανατικῆς ἐκτελέσεως ἐν Θεσσαλονίκῃ παρὰ τῶν Τούρκων, τῇ θαυματουργικῇ ἐπεμβάσει τοῦ Μεγαλομάρτυρος ἁγίου Δημητρίου, προτραπεὶς ὑπὸ τοῦ Πνευματικοῦ αὐτοῦ Πατρὸς ἁγίου Νεκταρίου καὶ λαβὼν τὴν εὐλογίαν, ἐκοινοβίασεν εἰς τὴν ἐν Πάρῳ πεφημισμένην διὰ τὴν ὑψηλὴν ἀσκητικότητα τῶν μοναχῶν Ἱερὰν Μονὴν Ζωδόχου Πηγῆς τῆς Λογγοβάρδας. Καρεὶς ἐκεῖσε καὶ χειροτονηθείς εἶτα ἱερομόναχος, ἐπραγματοποίησεν ὁ Ὅσιος Πατὴρ προσκύνημα εἰς Ἁγίους Τόπους καὶ Σινᾶ, μεθ' ὃ ἐκλεγεὶς Ἡγούμενος τῆς Ἱερᾶς Μετανοίας αὐτοῦ, κατέστησε ταύτην τηλαυγῆ φάρον καὶ ἐργαστήριον ἁγιότητος, οὐχὶ μόνον τῶν ὑποτακτικῶν μοναχῶν, ἀλλὰ καὶ συμπάσης τῆς ἑλληνικῆς Ὀρθοδοξίας. Ἐντεῦθεν, ζήλῳ πολλῷ καταφλεγόμενος διὰ τὴν σωτηρίαν τῶν ἀδελφῶν χριστιανῶν, περιῆλθεν ἀποστολικῶς ὁ φιλοψυχότατος Πατὴρ πλείστας ὅσας πόλεις, νήσους καὶ χωρία λειτουργῶν, κηρύττων καὶ ἐπιτελῶν θαυμαστῶς τὸ τῆς θείας ἐξομολογήσεως ἱερὸν λειτούργημα, δι' οὗ πλήθη ψυχῶν ὡδήγησεν εἰς τὴν κατὰ Θεὸν μετάνοιαν καὶ σωτηρίαν, ἐπικουρούμενος καὶ διὰ θαυμασίων σημείων τῆς παντουργοῦ Χάριτος τοῦ Δεσπότου Χριστοῦ. Κατὰ δὲ τὴν γερμανικὴν κατοχὴν τῆς νήσου Πάρου, ἐπὶ σειρὰν ἐτῶν ἐτροφοδότει θαυμαστῶς, τῇ Θεομητορικῇ εὐλογίᾳ, ἑκατοντάδας λιμοκτονούντων καὶ διέσωσεν ἀπὸ βεβαίου θανάτου παρίους χριστιανούς ἀποφασισθέντας ἀναιτίως παρὰ τῶν γερμανῶν εἰς ἐκτέλεσιν. Μεγάλην ἔχων τὴν ἀγάπην πρὸς τοὺς Ἁγίους Πάντας καὶ τὸν Προφήτην Ἠλίαν, ἀνήγειρεν ἐπὶ τῆς κορυφῆς τῆς νήσου Πάρου ἱεροὺς τούτων ναούς, ἔνθα κατὰ καιροὺς ἀναχωρῶν κατὰ μόνας, ἐτρύγει τὸ μέλι τῆς ἱερᾶς ἡσυχίας ἐν πλήρει νηστείᾳ καὶ προσευχῇ. Μερίμνῃ δὲ ἰδίᾳ ἀνήγειρεν ἐν συνόλῳ δώδεκα ἱεροὺς ναούς, ἰδιαιτάτην ἐπιδείξας φροντίδα διὰ τὴν περικαλλῆ γυναικείαν Ἱερὰν Μονὴν Παναγίας Μυρτιδιωτίσσης Θαψανῶν, ἐπανδρώσας ταύτην διὰ μοναζουσῶν εὐλαβεστάτων καὶ ἧς ἐγγύτατα ἀφιέρωσε τῷ ἁγίῳ καὶ θαυματουργῷ Πατρὶ αὐτοῦ Νεκταρίῳ ὡραιότατον ναόν, ἑτοιμάσας συγχρόνως

ἐκεῖσε καὶ τὸν τάφον αὐτοῦ, ὅπου ἀπερχόμενος συχνότατα ἐμελέτα τὸ μυστήριον τοῦ θανάτου. Διελθὼν ἅπαντα τὸν ἀγγελοπρεπῆ βίον ὁ μακάριος πατὴρ Φιλόθεος "εὐεργετῶν καὶ ἰώμενος" ψυχάς τε καὶ σώματα διὰ τοῦ δοθέντος, πρὸς τοῖς ἄλλοις, χαρίσματος τῆς θαυματουργίας, ὡς καὶ τῆς συγγραφικῆς διακονίας καὶ τῆς ἐπιστολικῆς τοιαύτης, καὶ προσβληθεὶς ὑπὸ σοβαρᾶς νεφρικῆς ἀσθενείας, μετὰ μαρτυρικὴν τρίμηνον ὑπομονὴν, πλήρεις ἔχων τὰς πνευματικὰς αἰσθήσεις καὶ ἀδιαλείπτως εὐχόμενος, παρέδωκε τῷ ἀγαπήσαντι Αὐτὸν Κυρίῳ τὴν ὁσίαν ψυχὴν, τῇ ἕκτῃ πρωϊνῇ ὥρα τῆς ὀγδόης Μαΐου τοῦ ἔτους χιλιοστοῦ ἐννεακοσιοστοῦ ὀγδοηκοστοῦ, μνήμῃ τοῦ ἁγίου Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου καὶ Ὁσίου Ἀρσενίου τοῦ Μεγάλου, οὓς ἰδιαιτέρως ἠγάπα καὶ μεγάλως ηὐλαβεῖτο, ταφεὶς ἐν τῷ ὡς εἴρηται ἡτοιμασμένῳ τάφῳ, δεξιόθεν τοῦ Ἱεροῦ Ναοῦ τοῦ Ἁγίου Νεκταρίου. Μετὰ δὲ παρέλευσιν δεκατριετίας, τῇ ἐπιμόνῳ παρακλήσει τῶν δυσαριθμήτων πνευματικῶν αὐτοῦ τέκνων, ἀπεφασίσθη καὶ ἐγένετο ἡ ἀνακομιδὴ τοῦ τιμίου Λειψάνου τοῦ ὁσίου Πατρὸς Φιλοθέου, τῇ 24ῃ Σεπτεμβρίου 1993, τῇ φιλοσίῳ μερίμνῃ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Παροναξίας κ.κ. Ἀμβροσίου (τοῦ Στάμενα), διατελέσαντος καὶ τοῦ Ἱεράρχου τούτου πνευματικοῦ τέκνου τοῦ μακαρίου καὶ ἐν Ἁγίοις ἀναπαυομένου Γέροντος. Ἦν δὲ ὁ ὁσιώτατος τὸ ἐξωτερικὸν παράστημα ἐπιβλητικός, τὴν φωνὴν βροντώδης, τὰς κινήσεις ἔχων ἱεροπρεπεῖς, πλήρης ἀγάπης καὶ χριστοειδοῦς φιλανθρωπίας, χαίρων μετὰ χαιρόντων καὶ κλαίων μετὰ κλαιόντων, λίαν ἐπιμελούμενος τῆς ἐν Χριστῷ οἰκοδομῆς τῶν πνευματικῶν αὐτοῦ τέκνων, τὸ φρόνημα ὀρθοδοξότατος, τὸν ζῆλον δεύτερος προφήτης Ἠλιού, σφόδρα ἀγαπῶν τὰς ἱερὰς ἀκολουθίας, ἀγρυπνητὴς ἰσόβιος, νηστευτὴς ἀταλάντευτος, τὴν καρδίαν ἁπλούστατος καὶ ἄκακος ὡς παιδίον, λειτουργὸς ἀπαράμιλλος, τηρητὴς τῶν ἁγιοπατερικῶν παραδόσεων, τὴν ἀναστροφὴν χαριέστατος, ταμεῖον ἀκένωτον ἐλεημοσύνης, ῥήτωρ συναρπαστικός, ἄγαν φιλοθεομητορικὸς καὶ φιλάγιος, καὶ ἐν συνόλῳ εἰπεῖν, τέλειον ἀφομοίωμα τοῦ Δεσπότου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, Φιλόθεος τὴν κλῆσίν τε καὶ τὴν πρᾶξιν.

**Ταῖς αὐτοῦ καὶ πάντων τῶν Ἁγίων σου πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

www.tezaurliturgic.ro

Ὠδὴ ζ΄. Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος.

Ἡ Χάρις σοι συνήργει Φιλόθεε, ἐν πᾶσι διαβήμασι, φίλῳ ὡς πιστῷ, καὶ τὰ μυστήρια Θεοῦ, ἀπεκάλυπτε σαφῶς τῇ καρδίᾳ σου, διὸ καὶ εὐωδώθησαν τρίβοι, τοῦ βίου σου μακάριε.

Συνέσεως πλησθεὶς ὁσιώτατε, τοῖς λόγοις σου ἠλίευσας, πλήθη τῷ Χριστῷ, καὶ ἀνεκαίνισας ψυχάς, μετανοίας μυστηρίῳ χρησάμενος, σαλπίζων Θεοῦ φιλανθρωπίαν, Φιλόθεε φιλάνθρωπε.

Πτερώσας τῇ ἀσκήσει τὸ πνεῦμά σου, ἐπέτασας Φιλόθεε, ὡς ἀετὸς βασιλικός, ἔνθα Ἁγίων αἱ σκηναί, ὧν τοὺς τρόπους ἀκριβῶς μιμησάμενος, ἐδείχθης ἐν χρόνοις τοῖς ὑστέροις, ἁπάντων ὁμοβάθμιος.

Θεοτοκίον

Ἀπαύστως σὸν γλυκύτατον Ὄνομα, Παρθένε ὑπεψέλλιζεν, ὥς περ Μητρὸς ἀγαπητῆς, καὶ ἱερὰν μοναζουσῶν, ὁ Φιλόθεος Μονήν σοι ἀνέθετο, ἐν ᾗ ἀνυμνεῖται ἀπαύστως, Θεὸς ὁ ὑπερένδοξος.

Καταβασία. Ὁ Παῖδας ἐκ καμίνου.

Ὠδὴ η΄. Αὕτη ἡ κλητή.

Ρώμην ἐνδυθεὶς ὁσιώτατε Πάτερ, ἐνέαζες ἐν γήρει βαθεῖ τε καὶ καρποφόρῳ, ποτηρίῳ ζωῆς, προσερχόμενος ἑκάστοτε δάκρυσι, Κυρίου θαυμάζων, φρικτὴν οἰκονομίαν.

Ὅση σου πολλὴ καὶ βαθεῖα ἀγάπη, τοσαύτη σοι ὑπῆρξεν καὶ ἡ ἀντίδοσις Πάτερ, Θεολόγου κλεινοῦ, Ἀρσενίου τε κλεινοῦ ὦ Φιλόθεε, ψυχὴν παραδόντος, ἐν τούτων θείᾳ μνήμῃ.

῞Υψη νοητὰ καὶ ποθῶν καὶ διώκων, ἀνῆλθες εἰς ὀρέων τὰς κορυφὰς τῶν ῾Αγίων, ταπεινῶν σεαυτόν, διὸ Κύριος ἐν τέλει σοι δέδωκε, κλῆρον εἰς τὸ ῎Ορος, τῆς Πόλεως τῆς ἄνω.

Θεοτοκίον

Πήγασον Πηγὴ Ζωοδόχε ψυχῇ μου, τὸ ὕδωρ σωτηρίας, ὡς Φιλοθέῳ ῾Οσίῳ, καὶ τρυφῆς τῆς ᾿Εδέμ, καταξίωσον τρυφῆσαί με Δέσποινα, ὅπως μεγαλύνω, Χριστὸν εἰς τοὺς αἰῶνας.

Καταβασία. Αὕτη ἡ κλητή.

ᾨδὴ θ΄. Φωτίζου, φωτίζου.

῾Οσίων οἱ δῆμοι, Πάντων ῾Αγίων τε χοροί, ἐπευφραίνονται σφόδρα, σὴν ψυχήν ὁμόσκηνον, ἔχοντες Πάτερ καὶ Γέρων ὁ σός, ἔτι σκιρτᾷ, σκῆνός σου ἁγίῳ, ναῷ αὐτοῦ εἰσδεξάμενος.

Θαυμάτων πηγήν σε, εὗρον Φιλόθεε πιστοί, θείων σου λειψάνων θήκην ἀσπαζόμενοι, καὶ ἡ Μονὴ Θαψανῶν σε πλουτεῖ, μέγαν φρουρόν καὶ θερμὸν μεσίτην, φιλοστοργότατε ῞Οσιε.

῏Ω! δόξης σου Πάρος, ὢ! χρυσοπλόκου σου σειρᾶς, ἥτις συνετέθη ὑπὸ θείου Πνεύματος, ἐξ ἀσκητῶν καὶ ὁσίων κλεινῶν, τέλος τερπνόν τούτων δὲ ἐχούσης, τὸν ὑπερθαύμαστον Φιλόθεον.

Θεοτοκίον

᾿Αγάλλου Παρθένε, τῶν μοναζόντων ἡ χαρά, ὅτι προσετέθη τοῖς ὁσίοις ῞Οσιος, ὁ Λογγοβάρδας χριστόνους ποιμήν, σφόδρα Υἱὸν σοῦ καταφιλήσας, ὁ ἐκλεκτός σου Φιλόθεος.

Καταβασία. ῾Ο ῎Αγγελος ἐβόα...Φωτίζου, φωτίζου.

Ἐξαποστειλάριον

Ἦχος β΄. Σαρκὶ ὑπνώσας ὡς θνητός.

Θεὸν φιλήσας ἀληθῶς, Φιλόθεε μακάριε, χαρίσμασιν ἐκοσμήθης, δι' ὧν ἐτεκνοτρόφησας, τὰ τέκνα τῆς Ἐκκλησίας, φιλοψυχότατε Γέρον, τῆς Πάρου ἡ εὐκοσμία.

Καὶ τῆς ἑορτῆς.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια

Ἦχος πλ.δ΄. Ὢ! τοῦ παραδόξου θαύματος.

Ὅσιε Πάτερ Φιλόθεε, ἀπὸ παιδὸς τὸν Θεόν, ἀγαπήσας ἠγνόησας, ἅπαν κόσμου νόημα, τὸ χωρῖσαι δυνάμενον, ὁδοιπορίας οὐρανοδρόμου σε, ἐν ᾗ ἀρίστην εὗρες ἀλείπτριαν, τὴν Θεομήτορα, ὁδηγοῦσαν πάντοτε ταῖς μητρικαῖς, αὐτῆς ὑποδείξεσιν, πρὸς βίον κρείττονα.

Πάτερ Φιλόθεε ὅσιε, ἐπιποθῶν κατιδεῖν, τὴν Σιὼν τὴν οὐράνιον, Τόπους προσεκύνησας, τοὺς Ἁγίους οὗ ἔστησαν, πόδες Κυρίου καὶ τὸ μυστήριον, οἰκονομίας ἅπαν πεπλήρωται, ὅθεν καρδίαν σου, ἄνω ἔχων πάντοτε θεοφιλῶς, σὺν Ἁγίοις ἅπασι, θείου φωτὸς ἐντρυφᾷς.

Μάκαρ Φιλόθεε ἅγιε, φιλανθρωπίᾳ πολλῇ, θησαυρούς σου τοῦ πνεύματος, πᾶσι διεμοίρασας καὶ Κυρίῳ συνήρμοσας, τῇ μετανοίᾳ καὶ τέκνα χάριτος, σοφοῖς σου τρόποις τούτους ἀπέδειξας, ἤχῳ δὲ σάλπιγγος, τῇ χρυσῇ σου ἤγειρας ἐκ ζοφεροῦ, ὕπνου Ὁσιώτατε, πρὸς θείαν ἔννοιαν.

Φίλε Θεοῦ ὁσιώτατε, σὺν Θεοκτίστῃ σεμνῇ, Συμεὼν Ἀρσενίῳ τε, Πάρου θησαυρίσματα, καὶ ἁγίῳ σου Γέροντι, τῷ Νεκταρίῳ μὴ διαλίπητε, Θεῷ πρεσβεύειν τῷ ἐλεήμονι, ὅπως τὸ θέλημα, τὸ αὐτοῦ πληρώσαντες, ἐν οὐρανῷ, σὺν ἀγγέλων τάγμασι, κατασκηνώσωμεν.

Δόξα. Ἦχος πλ.α΄.

Τὴν οὐρανοδρόμον σου πορείαν θεοφιλῶς τελέσας Ὅσιε, γέγονας ὑπόθεσις ἡδυτάτη τοῖς ἐπιτελοῦσι τὴν μνήμην σου. Πρὸς σὲ γὰρ προσβλέποντες, ὡς εἰς ἔνσωμον εἰκόνα ἁγιότητος, νυττόμεθα φιλοθέως, εἰς τοῦ Δεσπότου ἀκολούθησιν· τὸν δὲ ἁγιασμὸν βεβαιούμενοι παντὶ τῷ θέλοντι ἐπιτευκτόν, δεόμεθά σου Φιλόθεε· χορήγει ταῖς ψυχαῖς τῶν ὑμνητῶν σου, τοῦ Παρακλήτου τὴν καλὴν ἀλλοίωσιν, ὅπως τὸν Κύριον ἀγαπήσαντες, τῆς σωτηρίας ἐπιτύχωμεν.

Καὶ νῦν. Ἀναστάσεως ἡμέρα ἢ τῆς προλαβούσης ἑορτῆς.
Δοξολογία μεγάλη καὶ ἀπόλυσις.
Εἰς τὴν Θείαν Λειτουργίαν· Ἀπόστολος καὶ Εὐαγγέλιον, τὰ ὁσιακά.
Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

**Μεγαλυνάρια**

Χαίροις Θεοτόκου δοῦλε σεπτέ, τῶν ῾Αγίων Πάντων χριστοπόθητε ἐραστά, ᾿Ηλιοὺ Θεσβίτου ὁ μιμητὴς ὁ θεῖος, Φιλόθεε τρισμάκαρ, Πάρου τὸ κλέϊσμα.

Μοναζόντων πέφυκας ὁδηγός, θείας ἡσυχίας μέλι Πάτερ κατατρυφῶν, προσευχῆς ἐργάτης ἰσόβιος καὶ μέγας, Φιλόθεε σῶν τέκνων, τύπος χριστόγραφος.

Βέλος τῆς ἀγάπης τοῦ ᾿Ιησοῦ, ὥσπερ σὺ ἐδέξω, ταῖς καρδίαις βάλε ἡμῶν, φίλε τοῦ Κυρίου πιστὲ καὶ ἀμπελῶνος, τοῦ μυστικοῦ ἐργάτα, Πάτερ Φιλόθεε.

Σὺν τῷ ξενοδόχῳ σκήνους τοῦ σοῦ, καὶ Πατρὸς ῾Αγίῳ, Νεκταρίῳ θαυματουργῷ, τέκνων κατὰ πνεῦμα, μνήσθητε θεῖε Γέρον, ἐν ὥρᾳ τῆς δευτέρας, φρικτῆς ἐτάσεως.

Στίχοι
Σὸν σεπτόν, Φιλόθεε Πάτερ, βίον ὑμνήσας
δυσωπῶ· μνημόνευε πάντων τῶν σὲ τιμώντων·
ὡς δὲ τὴν κλῆσιν προεῖπές μου τὴν κάτω,

οὕτω εἰς μονὰς καλέσαις μ᾽ οὐρανίους.

* * *

Ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας Ἁγίου Ὄρους Ἄθω,
τῇ 18ῃ Αὐγούστου 1993,
ἡμέρᾳ μνήμης τοῦ Ὁσίου πατρὸς ἡμῶν Ἀρσενίου τοῦ ἐν Πάρῳ.